Ακαδημία Αθηνών / Academy of Athens

**συνοικεῖσθαι.** Συνοικίζομαι/ἱδρύομαι, be cohabitated/be founded, Ἀναξαγόρας 4.6 *καὶ τοῖς γε ἀνθρώποισιν εἶναι καὶ πόλεις σ υ ν ῳ κ η μ έ ν α ς καὶ ἔργα κατεσκευασμένα, ὥσπερ παρ' ἡμῖν.*

**συνουσίη.** Βλ. **ξυνουσίη.**

**συνοχή.** Συνοχή/δεσμός, cohesion/bond, Φιλόλαος Α 16 (DK I 403,15) *Διὸς οἶκον ... μητέρα θεῶν βωμόν τε ... σ υ ν ο χ ὴ ν ... μέτρον φύσεως.* Πρβλ. *συνέχειν.*

**σύνταγμα.** Σύγγραμμα, treatise, Δημόκριτος 13 *Περὶ ἀστρονομίας καὶ ἐν τοῖς ὑπολειπομένοις σ υ ν τ ά γ μ α σ ι.*

**συντάττεσθαι 1.** Συντάσσομαι/συγγράφομαι, be written, Δημόκριτος 5 *σ υ ν τ ε τ ά χ θ α ι ... τὸν Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις* **2.** Συντάσσομαι/συγκροτοῦμαι, be arranged/be ordered, Δημόκριτος 61 *οἷσιν ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοισι καὶ ὁ βίος σ υ ν τ έ τ α κ τ α ι.*

**σῦριγξ.** Αὐλός/σωλήνας, pipe, Παρμενίδης 1.6-19 *ἄξων δ' ἐν χνοίῃσιν ἵει σ ύ ρ ι γ γ ο ς ἀυτὴν ... ἄξονας ἐν σ ύ ρ ι γ ξ ι ν ἀμοιβαδὸν εἰλίξασαι* Ἐμπεδοκλῆς 100.2 *λίφαιμοι σαρκῶν σ ύ ρ ι γ γ ε ς.*

**σύστομος.** Στενοστόμιος/μικροστόμιος, narrow-mouthed/small-mouthed, Ἀρχύτας 1.23 *ὥσπερ οὐδ' ἐς τὰ σ ύ σ τ ο μ α τῶν τευχέων.*

**σφαγή.** Σφαγὴ (μέρος τοῦ λαιμοῦ), part of the neck, Διογένης 6.5-27-34 *παρὰ τὰς κλεῖδας διὰ τῶν σ φ α γ ῶ ν ... διὰ τῶν σ φ α γ ῶ ν ... διὰ τῶν σ φ α γ ῶ ν.*

**σφαῖρα 1.** Ἡ σφαίρα, the sphere as a geometrical body, Παρμενίδης 8.43 *αὐτὰρ ἐπεὶ πεῖρας πύματον, τετελεσμένον ἐστὶ πάντοθεν, εὐκύκλου σ φ α ί ρ η ς ἐναλίγκιον ὄγκῳ* Δημόκριτος 111 (τίτλ.). *Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κύκλου καὶ σ φ α ί ρ η ς* 155a *ἡ σ φ α ῖ ρ α ὡς γωνία τις οὖσα* τέμνει **2.** Τὸ σύμπαν ὡς σφαίρα, the universe as sphere, Φιλόλαος 7 *τὸ πρᾶτον ἁρμοσ-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*θέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται.* || Φιλόλαος 12 *καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁλκάς(?), πέμπτον.*

**σφαῖρος.** Σφαῖρος, sphere, Ἐμπεδοκλῆς 27.4 καὶ 28.2 *ἀλλ' ὅ γε πάντοθεν ἴσος ⟨ἑοῖ⟩ καὶ πάμπαν ἀπείρων Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέι γαίων* 29.3 *σφαῖρος ἔην καὶ ⟨πάντοθεν⟩ ἴσος ἑαυτῷ.*

**σφαλερός.** Ἀβέβαιος/παρακινδυνευμένος, uncertain/full of pitfalls, Δημόκριτος 275 *τεκνοτροφίη σφαλερόν.* Πρβλ. *ἀβέβαιος.*

**σφάλλεσθαι.** Παραπαίω/παραπατῶ, stagger/stumble, Ἡράκλειτος 117 *ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος.*

**σφεδανός.** Σφοδρὸς/μανιασμένος, violent/frenzied, Ξενοφάνης 1.23 *στάσιας σφεδανάς.*

**σφίγγειν.** Σφίγγω/περισφίγγω, tighten/tighten round, Ἐμπεδοκλῆς 38.4 *Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα.*

**σφοδρός.** Σφοδρὸς/ἰσχυρός, vehement/strong, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀρέξεις τυφλοῦσιν εἰς τἆλλα τὴν ψυχὴν* Ἀρχύτας 1.31-44-53-54 *σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι ... διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν ὀξύτερον ἆχον ἀφίησιν ... τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω ἀσθενὲς ἐκφέρεται, διὰ δὲ τῶ μείονος σφοδρόν.* Πρβλ. *ἰσχυρός.*

**σχέδυνος.** Συνεκτικὸς/συνδετικός, connecting/joining, Ἐμπεδοκλῆς 19 *σχεδύνην Φιλότητα.*

**σχέτλιος.** Οἰκτρὸς/ἀποτρόπαιος, miserable/aboninable, Ἐμπεδοκλῆς 139.2 *σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.*

Ακαδημία Αθηνών / Academy of Athens